Die Terminologie hat die Aristotelischen Eigentümlichkeiten *ὁμοίας γωνίας* 913^b 8, *πρὸς ὀρθήν* 913^b 9, 34, auch in der Buchstabenbezeichnung (*ἐφ' ᾧ ΑΔ* 912^b 7, *ἡ τὸ ΔΖ* 912^b 8, 9, *ἐφ' ἧς τὸ ΓΖ* 912^a 40, *οὗ τὸ Γ* 912^a 39, 40); doch überwiegt hier die Euklidische Weise (*ἡ ΘΑ* 911^a 25, 31, 912^b 1, von einem Kreisbogen 911^a 27, 28, ähnlich *τὸ ΘΑ* 911^a 24, 912^a 39, ^{b} 10, *τὸ Α* 911^a 23, 24, 25, 26, 912^a 40, *γωνία ἡ πρὸς τῷ Δ* 911^a 28; uneuklidisch die Weglassung des Artikels 912^b 7, 8). *στιγμή* kommt nicht vor, *σημεῖον* 912^a 38, 913^b 8 usw.; *ἡ τοῦ κύκλου περιφέρεια* 911^b 37, vgl. 911^b 30, 32. Abweichend von Euklid ist *ὑπὸ περιφερείᾳ* 911^a 17, 28 statt *βεβηκυῖα ἐπὶ περιφερείας*, und *διαιρεῖν* für *τέμνειν* 911^a 21, 31, 913^b 28, *κάθετος πρός* 913^b 28, diese beiden Wendungen in Übereinstimmung mit der *Mechanik*.

Die Abhandlung *περὶ ἀτόμων γραμμῶν* behandelt zwar ein mathematisches Thema, das auch Aristoteles selbst beschäftigt hat (s. oben S. 23 f.), bietet aber für unsere Zwecke verhältnismäßig wenig. Benutzt werden folgende Sätze:

970^a 10: *ἐν ἅπαντι δὲ ἰσοπλεύρῳ ἡ κάθετος ἐπὶ μέσην πίπτει*, mit einbegriffen in *Elem.* I 10.[1])

970^a 8: *ἔτι εἰ ἐκ τριῶν δοθεισῶν ⟨ἴσων⟩*[2]) *εὐθειῶν συνίσταται τρίγωνον* = *Elem.* I 22.



Fig. 10.

970^a 11: *ἔτι εἰς*[3]) *τὸ τετράγωνον τῶν ἀμερῶν διαμέτρου*[4]) *ἐμπεσούσης καὶ καθέτου ἀχθείσης ἡ τοῦ τετραγώνου πλευρὰ τὴν κάθετον δύναται καὶ τὴν ἡμίσειαν τῆς διαμέτρου* = *Elem.* I 47.

1) Es ist bemerkenswert, daß Proklos (*in Elem.* S. 279, 4 ff.) diesen Satz gegen Xenokrates' Lehre von den *ἄτομοι γραμμαί* verwendet, wahrscheinlich nach Geminus (ib. S. 278, 12).

2) Fehlt in den Hss. Aber das Dreieck wird Z. 10 als *ἰσόπλευρον* bezeichnet, und aus drei *beliebigen* Geraden kann nicht immer ein Dreieck konstruiert werden.

3) *εἰ* die Hss.

4) So einleuchtend für *διὰ μέσου* Apelt, der in seiner Ausgabe (Lips. 1888) S. XVI die Stelle richtig erklärt.

Derselbe Satz liegt auch den folgenden, durch Kürze etwas unklaren Worten[1]) zu Grunde:

970^a 14: *οὐδὲ διπλάσιον τὸ ἀπὸ τῆς διαμέτρου χωρίον ἔσται τοῦ ἀπὸ τῆς ἀτόμου· ἀφαιρεθέντος γὰρ τοῦ ἴσου ἡ λοιπὴ ἔσται ἐλάσσων τῆς ἀμεροῦς· εἰ γὰρ ἴση, τετραπλάσιον ἂν ἀνέγραφεν ἡ διάμετρος.*

969^a 4: *πᾶσαν δὲ τμηθῆναι δυνατὸν τὴν μὴ ἄτομον τὸν ἐπιταχθέντα λόγον*[2]) = *Elem.* VI 10: *τὴν δοθεῖσαν εὐθεῖαν ἄτμητον τῇ δοθείσῃ τετμημένῃ ὁμοίως τεμεῖν* (zu *ἐπιταχθέντα* vgl. *Elem.* VI 9 S. 104, 19).

Als bekannt wird vorausgesetzt *ἀποτομή* (*Elem.* X 73), *ἡ ἐκ δύο ὀνομάτων* (*Elem.* X 36), s. 968^b 18: *οὐκ ἔσται οὔτε ῥητὴ οὔτ' ἄλογος οὔτε τῶν ἄλλων οὐδεμία, ὧν νῦν δὴ εἴρηται*[3]), *οἷον ἀποτομὴ ἢ ἐκ δυοῖν ὀνομάτοιν*, und überhaupt die Lehre von den irrationalen Größen, s. 968^b 6: *εἰ σύμμετροί εἰσιν αἱ τῷ αὐτῷ μέτρῳ μετρούμεναι* = *Elem.* X def. 1, 968^b 15: *πάντα γὰρ τὰ ἀπὸ τῶν ῥητῶν γραμμῶν σύμμετρα ἀλλήλοις* = *Elem.* X def. 4, 969^b 33: *ἔπειτα πᾶσαι αἱ γραμμαὶ σύμμετροι ἔσονται· πᾶσαι γὰρ ὑπὸ τῶν ἀτόμων μετρηθήσονται αἵ τε μήκει σύμμετροι καὶ αἱ δυνάμει· αἱ δὲ ἄτομοι σύμμετροι πᾶσαι μήκει· ἴσαι γάρ· ὥστε καὶ δυνάμει* = *Elem.* X 9 coroll., 969^b 7: *τὸ δ' ἐπὶ τῶν συμμέτρων γραμμῶν, ὡς ὅτι αἱ πᾶσαι τῷ αὐτῷ τινι καὶ ἑνὶ μετροῦνται, κομιδῇ σοφιστικὸν καὶ ἥκιστα κατὰ τὴν ὑπόθεσιν τὴν ἐν τοῖς μαθήμασιν· οὔτε γὰρ ὑποτίθενται οὕτως οὔτε χρήσιμον αὐτοῖς ἐστιν. ἅμα δὲ καὶ ἐναντίον πᾶσαν μὲν γραμμὴν σύμμετρον γίνεσθαι, πασῶν δὲ τῶν συμμέτρων κοινὸν μέτρον εἶναι ἀξιοῦν*, s. *Elem.* X def. 3: *τούτων ὑποκειμένων δείκνυται, ὅτι τῇ προτεθείσῃ εὐθείᾳ ὑπάρχουσιν εὐθεῖαι πλήθει ἄπειροι σύμμετροί τε καὶ ἀσύμμετροι*, mit dem Scholium nr. 21. Ferner die Operation des *παραβάλλειν* (*Elem.* I 44, VI 28 und 29) 970^a 4: *ἔτι εἰ παρὰ τὴν μείζω ⟨ἔλαττον⟩ τὸ πλάτος ποιεῖ παραβαλλόμενον τὸ ἴσον, τὸ ὑπὸ τῆς ἀτόμου καὶ τῆς ποδιαίας παραβαλλόμενον παρὰ τὴν δίπουν ἔλαττον ποιήσει τὸ πλάτος τῆς ἀμεροῦς· ἔσται ἄρα ἔλαττόν τι τῆς ἀτόμου.*[4])

1) Wenn man die *ἄτομος γραμμή* als Quadratseite nimmt, wird nicht (wie es nach I 47 sein muß) $d^2 = 2s^2$. Denn (wenn $d^2 = 2s^2$, ist $d < 2s$, also) $d - s < s$. Wenn nämlich $d - s = s$, wird $d^2 = 4s$. Vgl. Apelt a. a. O. S. XVI, der richtig mit einer Hs. *ἴση* statt *ἴσως* geschrieben hat. *ἀνέγραφεν* ist meine Vermutung statt *ἔγραψεν*, vgl. *Elem.* vol. III S. 4, 2—3.

2) So Apelt mit einer Hs. und ed. pr.; *λόγον* fehlt in den Hss.

3) Apelts Konjektur für diese korrupten Worte: *ὧν δυνάμεις ῥηταί* kann nicht richtig sein; denn die *ἀποτομή* und *ἐκ δύο ὀνομάτων* sind *ἄλογοι*, nicht *δυνάμει ῥηταί*. *ἀποτομὴν ἐκ* die Hss., *ἀποτομὴ ἢ ἡ* Apelt.

4) So glaube ich die verdorbene Stelle richtiger und einfacher als Apelt S. XIV ff. hergestellt zu haben; *ἡ παραβαλλομένη* bei Apelt S. 147, 8—9 ist überhaupt nichts. *ἔλαττον* fehlt in den Hss., statt *τὸ ὑπὸ* haben sie *τὸ ἀπό*, *ἄρα* fehlt, und statt *τι* haben die Hss. *τὸ περὶ* oder *τὸ παρά*, statt *παρὰ τὴν δίπουν* eben-

972^{a}21: *γραμμῆς δ' ἦν ἡ ἀρχὴ καὶ τὸ πέρας στιγμή*, vgl. 970^{b}10, 23 ff., entspricht *Elem.* I def. 3: *γραμμῆς δὲ πέρατα σημεῖα*.

971^{b}15: *ἔτι καὶ ἡ τοῦ κύκλου* (sc. *στιγμή*) *τῆς εὐθείας ἅψεται κατὰ πλείω . . . εἰ δὲ τοῦτο μὴ δυνατόν* — wegen *Elem.* III def. 2.

971^{b}11: *εὐθεῖα εὐθείας ἅψεται κατὰ δύο στιγμάς* ist das unechte Axiom *Elem.* I *κοιν. ἔνν.* 9 in einer an 911^{a}26 erinnernden Fassung (oben S. 32).

Als Definitionen des Punktes werden erwähnt und widerlegt *τὸ ἐλάχιστον τῶν ἐν γραμμῇ* 972^{a}31, ^{b}24 und *ἄρθρον ἀδιαίρετον* 972^{b}25. Es wird immer *στιγμή*, nie *σημεῖον* gesagt.

969^{b}31: *οὔτε γὰρ ὁ τῆς γραμμῆς οὔτε ὁ τῆς εὐθείας ὅρος ἐφαρμόσει τῇ ἀτόμῳ διὰ τὸ μήτε μεταξύ τινων εἶναι μήτ' ἔχειν μέσον* setzt für die *γραμμή* die Definition als Grenze voraus (Apollonios bei Proklos *in Elem.* S. 100, 6 ff.), für *εὐθεῖα* die Platonische: *ἧς τὰ μέσα τοῖς ἄκροις ἐπιπροσθεῖ* (Proklos S. 109, 21 ff., oben S. 7). 971^{b}21: *ἔτι πῶς ποτε ἔσται εὐθεῖα γραμμὴ καὶ περιφερής* tritt die Aristotelische (oben S. 12 ff.) Einteilung der *γραμμαί* wieder auf. *περιφέρεια* kommt vor in der noch nicht überzeugend geheilten Stelle (vgl. Apelt S. XII ff.) 969^{b}10—21, wo von der Erzeugung eines Halbkreises und eines Kreises durch eine sich drehende Gerade die Rede ist (*τὴν τῆς εὐθείας εἰς τὸ ἡμικύκλιον κίνησιν* Z. 19 und *τὴν εἰς τὸν κύκλον* Z. 21 hat Apelt sicher richtig hergestellt). Ebenda Z. 21 *διάστημα*, wie *Elem.* I *αἴτ.* 3 und oft, vom Radius. Für Fläche ist *ἐπίπεδον* das gewöhnliche (968^{a}13, ^{b}14, 970^{b}31, 971^{a}2, 10, 972^{a}2, 8, 29, 30, ^{b}3, 9, 11, 28), aber 972^{b}14 steht in genau derselben Bedeutung *ἐπιφάνεια* wie *Elem.* I def. 5. Ebenso herrscht nach philosophischem Sprachgebrauch *σῶμα* vor (z. B. 969^{a}25, 970^{b}31, 971^{a}2, 972^{a}7, 11, ^{b}10, 970^{b}33: *σῶμα οὐκ ἔσται ἀδιαίρετον διὰ τὸ εἶναι ἐν αὐτῷ βάθος καὶ πλάτος*), aber das *στερεόν* der Mathematiker (*Elem.* XI def. 1) kommt auch vor (972^{a}29, 30, ^{b}9, 14). Dasselbe Schwanken zeigt sich im Gebrauch von *τέμνειν* und *διαιρεῖν*, so 970^{a}29, 30: *δίχα τέμνειν*, 970^{b}7: *εἰς ἴσα καὶ ἄνισα τέμνειν*, 969^{a}4: *λόγον τμηθῆναι*, alles ganz Euklidisch (vgl. noch 970^{a}31, ^{b}6, 972^{a}3), aber 970^{a}31: *δίχα διαιρεῖν* (neben *τέμνειν*), *εἰς ἄνισα δίαιρεῖν* 970^{a}33, *καὶ ἴσα καὶ ἄνισα διαιρεῖσθαι* 970^{a}27 usw. Nicht Euklidisch ist 971^{b}5: *ἐὰν οὖν ἐκ τοῦ K ἐκβληθῇ ἡ AB*. Dagegen sind die wenigen Buchstabenbezeichnungen wie bei Euklid (*τὸ K* 971^{b}5, 6, 8, *ἡ AB* 971^{b}6, 12, 13).[1])

---

falls *περὶ τὴν δ.* (dies hat schon Apelt berichtigt). Alles übrige hat handschriftliche Gewähr; denn daß das erste *παραβαλλόμενον* nur in der Verunstaltung *παραλαμβανόμενον* in der besten Hs. überliefert ist (die übrigen *περιβαλλομένη*), wie auch an der zweiten Stelle, wo die übrigen Hss. das richtige haben, verschlägt natürlich nichts.

1) Ich benutze die Gelegenheit, um zu der von Hayduck und Apelt sehr

Auch für diese Schrift bestätigt sich also, wie für die *Mechanik* und die *Probleme*, daß die etwas veraltete und inkonsequemte Terminologie der Schule sich gegen die Fortschritte der Mathematiker zähe behauptet.

III.

Die mathematischen Stellen des Aristoteles werden zwar von den antiken Kommentatoren sorgfältig mit erläutert unter Herbeiziehung sowohl von Euklid als von älterer Literatur aus Eudemos; aber eine Schrift wie Theon aus Smyrna *τὰ κατὰ τὸ μαθηματικὸν χρήσιμα εἰς τὴν Πλάτωνος ἀνάγνωσιν* scheint es im Altertum für Aristoteles nicht gegeben zu haben. Dagegen haben die Byzantiner solche Zusammenstellungen gemacht. Eine im *cod. Magliab.* XI 53 erhaltene unter dem Namen des Psellos habe ich kurz erwähnt in meiner Abhandlung über die Scholien zu Euklids *Elementen* (in den Schriften der dänischen Gesellschaft der Wissenschaften, 1888, S. 252); eine zweite, die wenigstens für byzantinische Verhältnisse nicht ohne Interesse ist, folgt hier. Sie steht im *cod. Vindobon. philos.* 150 f. 199^{r}—205^{v} und entstammt einer Vorlesung des Joannes Pachymeres über das *Organon*. Die Überschrift[1]) lautet nämlich: *τοῦ σοφωτάτου πρωτεκδίκου τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ δικαιοφύλακος διδασκάλου μου τοῦ Παχυμερῆ ἐξήγησις συντομωτάτη καὶ λίαν λαμπρὰ εἰς ὅλον τὸ ὄργανον.* fol. 1—10^{v} enthalten allgemeine Definitionen (*inc. φιλοσοφία ἐστὶν ἐξ ὑποκειμένου*), f. 10^{v}—26^{v} den Kommentar zu den Kategorien, f. 26^{v}—38^{v} zu *Περὶ ἑρμηνείνς*, f. 39—73^{r} zu *Anal. pr.* I (f. 58^{v} *τέλος τῶν μίξεων*, f. 59^{r} *τοῦ σοφωτάτου πρωτεκδίκου τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ διδασκάλου μου τοῦ Παχυμερῆ ἐξήγησις τῶν ὑποθετικῶν συλλογισμῶν Ἀριστοτέλους*), f. 73^{r}—86^{v} zu *Anal. pr.* II, f. 86^{v}—105^{r} zu *Anal. post.* I, f. 105^{r}—116^{r} zu *Anal. post.* II, f. 116^{r}—177^{v} zur *Topik* (*des. τέλος τῆς διαλεκτικῆς*), f. 177^{v}—198^{v} zu *Περὶ σοφιστικῶν ἐλέγχων* (*des. ὥστε καὶ παρὰ τούτου εὑρέθη καὶ παρ' αὐτοῦ τετελείωται, ᾧ δὴ πάντας ἡμᾶς οὐ πολλήν, ὡς αὐτὸς ἔφησεν, ἀλλ' οὐδ' ὅσην εἰπεῖν ἔχειν προσήκει χάριν:* †*τῷ συν-*

---

geförderten Textkritik des verwahrlosten Büchleins ein paar Kleinigkeiten beizutragen. 969^{a}18 *τοὔλαττον*] *οὐκ ἔλαττον*? 21 *δὲ τῶν*] *δὲ* ⟨*ἐπὶ*⟩ *τῶν*? 970^{a}31 *ὅσα*] *ὁσαοῦν* Apelt mit Hayduck, eher ⟨*εἰς ἄν*⟩*ισα*. 971^{a}28 *ὅλως*] *ὅλης* einige Hss., *ὅλως ἄν* Apelt mit Hayduck, eher *ὅλη ἄν*. 29 *ἤ*] *ἦ*? ^{b}23 *καὶ οὐκ ἔστιν ὅλως*] *καὶ οὐκ ἔστιν ἄλλως* Apelt mit Hayduck, eher *ἢ οὐκ ἔστιν ὅλως*.

1) Sie ist zwar von *μεγάλης* an sehr verwischt, aber die oben gegebene Lesung Nessels wird bestätigt durch eine teilweise Wiederholung auf einem Pergamentblatt, das als Umschlag von zwei Papierblättern mit einigen Versen vorn eingeheftet ist.

τελεστῇ τῶν καλῶν θεῷ χάρις. ἀμήν.† Darauf rot als Lemma: ἔχειν προσήκει χάριν, und dann: ἡμεῖς δὲ ἀλλ' οὐχ ὅπως συγγνώμην ἔχειν σοι τῶν ἐλλελειμμένων ὀφείλομεν ἀλλὰ καὶ συγγνώμην ζητοῦμεν, ἐφ' οἷς οὐκ ἀξίως χάριν τῶν εὑρημένων ἀνελ⟨λ⟩ιπῶς τὴν χάριν σοι ἔχομεν), f. 199r—205v das hier herausgegebene Stück[1]), f. 206r leer, f. 206v Definitionen der Philosophie, f. 207 bis 212r exegetische Notizen, f. 212r Schluß Berechnung der Zahl der möglichen προτάσεις (γκδ) mit der Überschrift τοῦ *Πλανούδη*, f. 212v zwei kleine Stücke logischen Inhalts, Überschrift τοῦ *Πλανούδη*. Die Planudesstücke sind von einer besonderen Hand, wahrscheinlich autograph wie die Planudes-Scholien im *cod. Laur.* 28, 2 (s. meine oben angeführte Abhandlung S. 272 ff.), das übrige ist wahrscheinlich von *einer* Hand geschrieben, obgleich Schrift und Tinte ziemlich ungleich sind. Es ist ein Kollegienheft des 14. Jahrhunderts. Demgemäß habe ich nur ganz offenkundige Schreibfehler des Schülers berichtigt.

Σημείωσαι καὶ ταῦτα συντελοῦντα εἰς τὸ Ὄργανον, ὧν σποραδὴν ἐν τῇ αὐτῇ πραγματείᾳ ὁ Ἀριστοτέλης ἐμνήσθη·

Euklid Elem. I 13.



Fig. 11.

ὡς ἂν εὐθεῖα ἐπ' εὐθεῖαν σταθῇ, τὰς ἐφεξῆς γωνίας ἢ δύο ὀρθὰς ἔχει ἢ δυσὶν ὀρθαῖς ἴσας. ἐπ' εὐθεῖαν γὰρ τὴν αβ ἡ γδ εὐθεῖα ἐμπέπτωκε, καί ἐστιν ἡ ὑπὸ αδγ ἴση τῇ ὑπὸ γδβ, καὶ ὀρθαὶ ἀμφότεραι· κατὰ κάθετον γάρ. ἢ πάλιν ἐπὶ τὴν αβ εὐθεῖαν εὐθεῖα ἐνέπεσεν ἡ εζ, καί ἐστιν ἡ ὑπὸ αζε καὶ ἡ ὑπὸ εζβ δυσὶν ὀρθαῖς ἴσαι· οὐ γὰρ κατὰ κάθετον, ἀλλὰ πλαγία ἐνέπεσεν.

Euklid I 29.



Fig. 12.

ἐὰν εἰς παραλλήλους εὐθεῖα ἐμπέσῃ, τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιεῖ. εἰς παραλλήλους γὰρ τὰς αβ, γδ εὐθεῖα ἐνέπεσεν ἡ εζηθ, καί ἐστιν ἡ ὑπὸ αζη γωνία ἴση τῇ ὑπὸ ζηδ, καὶ εἰσιν ἐναλλάξ· ἀντιστρόφως γὰρ κεῖνται ἐντὸς τῶν παραλλήλων γραμμῶν· διὰ τοῦτο γὰρ καὶ ἐναλλὰξ κέκληνται. ὁμοίως καὶ αἱ ζ καὶ η γωνίαι ἴσαι καὶ αὐταί εἰσιν, ὅτι καὶ αὐταὶ ἐναλλάξ εἰσιν.

---

1) f. 199—206 ist *eine* Lage, numeriert oben ιθ, unten κζ aus ιθ korrigiert. Die Lagen α—η haben nur diese Numerierung (oben und unten, ε hat 6 Blätter, η 4, die übrigen 8), von da an doppelte Zählung, unten θ—ιβ (θ steht f. 59r), oben, wie es scheint, α—γ, auf Lage ιβ nur diese Zahl; auf den beiden folgenden nur ε, ϛ (unten), dann oben und unten ζ, η usw. bis ιη, unten korrigiert in ιε, ιϛ usw. bis κϛ. Die Lage ιη = κϛ hat nur 4 Blätter. Der Schluß ist nicht numeriert.

---

6 ἡ] supra scr. αδγ] αγδ.

ἐὰν εἰς παραλλήλους εὐθεῖα ἐμπέσῃ, ἡ ἐκτὸς γωνία ἴση ἐστὶ τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη. εἰς παραλλήλους γὰρ τὰς αβ, γδ εὐθεῖα ἐνέπεσεν ἡ εζηθ, καί ἐστιν ἡ ἐκτὸς γωνία ἡ ὑπὸ εζβ ἴση τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη τῇ ὑπὸ ζηδ· ἔστι γὰρ καὶ ἡ ζ γωνία ἐντός, ἀλλ' οὐκ ἀπεναντίον· ἔστι καὶ ἡ ἀντικειμένη τῇ η γωνίᾳ καὶ τῇ ζ ἐντός, ἀλλ' οὐδ' αὗται ἀπεναντίον. Euklid I 29.



Fig. 13.

Euklid I 32.

διὰ τῶν τριῶν τούτων θεωρημάτων κατασκευάζεται, ὅτι αἱ τρεῖς τοῦ τριγώνου γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

ἔστω τρίγωνον τὸ αβγ. λέγω, ὅτι αἱ τρεῖς τούτου γωνίαι, ἡ ὑπὸ αβγ καὶ ἡ ὑπὸ βγα καὶ τρίτη ἡ ὑπὸ γαβ, δυσὶν ὀρθαῖς ἴσαι εἰσί.

προσεκβεβλήσθω γὰρ ἡ βγ εὐθεῖα ἐπὶ τὸ δ, καὶ γενέσθω γωνία ἔξω τοῦ τριγώνου ἡ ὑπὸ αγδ· καὶ ἐνέπεσεν ἡ αγ εὐθεῖα ἐπ' εὐθεῖαν τὴν βγδ, καί εἰσιν αἱ ἐφεξῆς γωνίαι ἥ τε ὑπὸ αγβ καὶ ἡ ὑπὸ αγδ ἢ δύο ὀρθαὶ ἢ δυσὶν ὀρθαῖς ἴσαι. ἀλλ' ἡ ὑπὸ αγβ ἡ μία γωνία τοῦ τριγώνου ἐστίν. ἐὰν οὖν δειχθῇ καὶ ἡ ἔξω γωνία ἡ ὑπὸ αγδ ὅλη ἴση ταῖς ἑτέραις δυσὶ τοῦ τριγώνου γωνίαις, ἔχομεν τὸ ζητούμενον· ὡς γὰρ ἡ μία γωνία τοῦ τριγώνου μετὰ ταύτης τῆς ἔξω δυσὶν ὀρθαῖς ἦσαν ἴσαι, οὕτω καὶ πάλιν ἡ μία αὕτη τοῦ τριγώνου γωνία σύναμα ταῖς ἑτέραις δυσὶ τοῦ τριγώνου γωνίαις δύο ὀρθὰς ποιήσουσι. τετμήσθω ὅλη ἡ ὑπὸ αγδ γωνία διὰ τῆς εὐθείας τῆς εγ εἰς δύο γωνίας τήν τε ὑπὸ αγε καὶ τὴν ὑπὸ εγδ, καὶ ἔστω παράλληλος ἡ εγ τῇ αβ· καὶ ἐνέπεσεν εἰς αὐτὰς εὐθεῖα ἡ αγ, καί ἐστιν ἡ ὑπὸ αγε γωνία ἴση τῇ ὑπὸ βαγ· ἐναλλὰξ γάρ· ἡ δὲ ὑπὸ εγδ γωνία ἴση τῇ ὑπὸ αβγ, ἡ ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον καὶ ἐπὶ τὰ αὐτὰ μέρη. εἰ γοῦν ἡ μία τοῦ τριγώνου γωνία ἡ ὑπὸ αγβ μετὰ τῶν ἔξω δύο γωνιῶν δυσὶν ὀρθαῖς ἴσας γωνίας ἐποίει, καὶ μετὰ τῶν λοιπῶν δύο γωνιῶν τοῦ τριγώνου τῶν ἴσων ταῖς ἔξω τὸ αὐτὸ ποιήσει· ὅπερ ἔδει δεῖξαι.



Fig. 14.

ὅτι τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσιν, οὕτω δὴ κατὰ τὸ πρῶτον διάγραμμα ὁ Εὐκλείδης καὶ κατασκευάζει καὶ ἀποδείκνυσιν.

ὁ μὲν στοιχειωτὴς Εὐκλείδης ἄλλως δείκνυσιν, ὅτι τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι ἴσαι ἀλλήλαις εἰσί. προσεκβάλλει γὰρ τὰς Euklid I 5.

---

4 εζβ] post ε del. β. 13 τό] τήν. 22 ἡ] om. 24 ἔστω] ἔστι. 31 πρῶτον] immo πέμπτον τοῦ πρώτου; cf. Alexander *in Anal. pr.* p. 268, 6 sqq. (ed. Wallies).

---

1 ff. vgl. *Anal. pr.* II p. 66 a 13 (s. oben S. 18). 9 ff. vgl. *Anal. pr.* II p. 67 a 15 usw. (s. oben S. 19).

εὐθείας τοῦ τριγώνου τὰς αβ, αγ καὶ τέμνει ἴσας τῇ αβ καὶ αγ τήν τε βδ καὶ τὴν γε καὶ κοινὴν λαμβάνει τὴν βγ καὶ δύο τρίγωνα ποιεῖ ὑποκάτω τοῦ



Fig. 15.

τριγώνου τὸ βγδ καὶ βγε. καί εἰσιν αἱ βάσεις αὐτῶν αἱ γδ, βε ἴσαι, καὶ γωνία ἡ ὑπὸ γβδ τῇ ὑπὸ βγε ἴση. καὶ αὖθις ποιεῖ τρίγωνα μεγάλα τὸ αγδ καὶ τὸ αβε· καί ἐστιν ἡ αδ τῇ αε ἴση καὶ ἡ αβ τῇ αγ, καὶ γωνία κοινὴ τῶν δύο τριγώνων μία ἡ ὑπὸ βαγ, καὶ βάσις ἡ βε βάσει τῇ γδ ἴση, καὶ γωνία ἡ ὑπὸ αβε τῇ ὑπὸ αγδ ἴση, καὶ ἡ πρὸς τῇ δ λοιπὴ λοιπῇ τῇ πρὸς τῇ ε ἴση. ἀλλ' ἐδείχθη καὶ ἡ ὑπὸ εβγ τῇ ὑπὸ βγδ ἴση· ἐὰν οὖν ἀπὸ τῶν ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενά εἰσιν ἴσα· ἀπὸ γοῦν τῶν ἴσων γωνιῶν τῆς τε ὑπὸ αβε καὶ τῆς ὑπὸ αγδ ἴσαι γωνίαι ἀφῃρέθησαν αἱ ὑπὸ γβε καὶ ὑπὸ βγδ· ὥστε καὶ αἱ καταλειπόμεναι γωνίαι ἥ τε ὑπὸ αβγ καὶ ἡ ὑπὸ αγβ ἴσαι εἰσὶν ἀλλήλαις· καί εἰσι πρὸς τῇ βάσει τοῦ αβγ τριγώνου. καὶ οὕτω μὲν ὁ Εὐκλείδης· ὁ δέ γε Ἀριστοτέλης διὰ τοῦ κύκλου τὸ τοιοῦτον θεώρημα ἀποδείκνυσιν.

Anal. pr. I 41 b 14 sqq.

ἔστω γὰρ κύκλος ὁ αβγ καὶ κέντρον τούτου τὸ δ· αἱ δὲ ἀπὸ τοῦ κέντρου ἠγμέναι ἴσαι ἀλλήλαις εἰσίν· ἴση ἄρα ἡ δβ τῇ δγ, καί ἐστιν ἰσοσκελὲς



Fig. 16

τρίγωνον τὸ δβγ, καί ἐστιν ὡς τομεὺς κύκλου τὸ δβκγ σχῆμα, καί εἰσιν αἱ γωνίαι τούτου ἥ τε ὑπὸ δβκ καὶ ἡ ὑπὸ δγκ ἴσαι. ἐμπεσοῦσα δὲ ἡ βγ εὐθεῖα τέμνει τήν τε πρὸς τῷ β γωνίαν εἰς τὴν ε καὶ τὴν η γωνίαν τήν τε πρὸς τῷ γ εἰς τὴν πρὸς τῷ ζ καὶ εἰς τὴν πρὸς τῷ θ. καί ἐστιν ἡ πρὸς τῷ η γωνία τῇ πρὸς τῷ θ ἴση· παντὸς γὰρ τμήματος κύκλου αἱ δύο γωνίαι ἴσαι ἀλλήλαις εἰσίν, ἔστι δὲ τμῆμα κύκλου τὸ βκγ· λοιπὴ ἄρα ἡ πρὸς τῷ ε γωνία τῇ πρὸς τῷ ζ λοιπῇ γωνίᾳ ἴση ἐστίν· ἐὰν γὰρ ἀπὸ τῶν ἴσων ἴσα ἀφέλῃς, τὰ καταλειπόμενα ἴσα εἰσίν. καί εἰσιν αἱ γωνίαι αὗται ἥ τε πρὸς τῷ ε καὶ ἡ πρὸς τῷ ζ τοῦ ἰσοσκελοῦς τριγώνου τοῦ δβγ πρὸς τῇ βάσει τῇ βγ· ὅπερ ἔδει δεῖξαι.

Aristoteles anal. pr. I 41 a 26.

πῶς ἡ διάμετρος ἀσύμμετρος τῇ πλευρᾷ;

τετραγώνου τοῦ αβγδ ἡ διάμετρος ἡ αγ τῇ πλευρᾷ τῇ αδ ἐστιν ἀσύμ-

1 καὶ αγ] τῇ αγ. 13 καὶ ὑπό] καὶ αἱ ὑπό. 24 η] e corr. 28 ἀφέλῃς] ἀφέλῃ.

Euklid nimmt nur $αδ = αε$, nicht $βδ = αβ = αγ = γε$. Daß $βε = γδ$, wird durch die Kongruenz der Dreiecke $αγδ$, $αβε$ bewiesen. Daraus folgt wieder die Kongruenz der Dreiecke $βγδ$, $βγε$ und aus dieser $\angle δβγ = \angle βγε$. In unserem Text ist die Schlußfolgerung auf den Kopf gestellt. 17 sqq. vgl. Alexander *in Anal. pr.* S. 268, 9 ff. (oben S. 25). 32 sqq. vgl. Alexander S. 260, 20 ff.

μετρος· εἰ γὰρ σύμμετρός ἐστι, ἔστι δὲ σύμμετρα μεγέθη τὰ ἔχοντα λόγον, ὃν ἀριθμὸς πρὸς ἀριθμόν, ἔστω ἡ διάμετρος τέσσαρα, ἡ δὲ πλευρὰ τρία, καὶ τετραγωνιζέσθω ταῦτα, καὶ γίνεται τὸ ἀπὸ τῆς διαμέτρου ιϛ, τὸ δὲ ἀπὸ τῆς πλευρᾶς θ. ἀλλὰ τὸ ἀπὸ τῆς διαμέτρου διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς πλευρᾶς· καὶ ὁ ιϛ ἄρα τοῦ θ διπλάσιος. ἀλλὰ καὶ τοῦ η· ὥστε ὁ περιττὸς ὁ θ ἴσος ἔσται τῷ ἀρτίῳ τῷ η· ὅπερ ἀδύνατον. οὐκ ἄρα σύμμετρος ἀλλ' ἀσύμμετρος.



Fig. 17.

Aristoteles Anal. pr. II 69 a 30 sqq.

πῶς ὁ κύκλος τετραγωνίζεται;

τετραγωνισθῆναι τὸν κύκλον πάντη χαλεπόν ἐστιν· οὐδὲ γὰρ εὐθύγραμμον ἀλλὰ περιφερόγραμμόν ἐστι· τὰ δὲ εὐθύγραμμα εὐκολώτερον τετραγωνίζονται, ἤγουν τὸ πρόμηκες γίνεται τετράγωνον· τετραγωνισμὸς γάρ ἐστι τὸ εὑρεῖν τὴν πλευράν, ἐξ ἧς τὸ σχῆμα τετραγωνίζεται. οἷον τὰ λϛ, εἰ μὲν ἐκ τοῦ τετράκις τὰ θ γίνονται, προμήκης ἐστί· τὸ μὲν γὰρ πλάτος τούτου δ, τὸ δὲ μῆκος θ. εἰ γοῦν θέλομεν τετραγωνίσαι τὸν λϛ, ζητήσομεν τὴν πλευράν, ἥτις εὕρηται κατὰ γεωμετρικὴν ἀναλογίαν μέσον τοῦ δ καὶ τοῦ θ, καί ἐστιν ὁ ϛ· ὃν γὰρ λόγον ἔχει ὁ θ πρὸς τὸν ϛ, ὁ ϛ πρὸς τὸν δ· ἡμιόλιος γάρ. καὶ ἑξάκις τὰ ϛ λϛ γίνονται. τοῦτό ἐστιν ὁ τετραγωνισμὸς καὶ ἐπὶ πάντων τῶν ἀριθμῶν καὶ τῶν σχημάτων. ἐπὶ γοῦν τοῦ κύκλου, ἐπεὶ οὐκ εὐθυγραμμίζεται, οὐκ ἔστι τὸ τετραγωνίσαι αὐτόν. ὅμως τινὲς καὶ τοῦτον ἐπειράθησαν τετραγωνίσαι, ἀλλ' οἱ μὲν ἀποστάντες τῶν οἰκείων γεωμετρικῶν ἀρχῶν, οἱ δὲ ἥψαντο μὲν τῶν ἀρχῶν, οὐ μὴν δὲ καὶ ἐς τέλος ἴσχυσαν ἀποδεῖξαι.

Aristoteles Anal. post. I 75 b 40 sqq. Pseudo-Alexander in Soph. elench. S. 90, 10 sqq. (ed. Wallies).

αὐτίκα ὁ μὲν Βρύσων ἀρχὰς ὑποθέμενος διαλεκτικὰς γεωμετρικῶς ἐπεχείρει δῆθεν τὸν τοῦ κύκλου ποιεῖν τετραγωνισμόν· ἐτίθει γὰρ κύκλον καὶ περὶ τοῦτον τετράγωνον καὶ ἄλλο ἐνέγραφεν ἐν αὐτῷ τετράγωνον, καὶ ἦν ὁ κύκλος μέσος τῶν δύο τετραγώνων, τοῦ μὲν ἐκτὸς μείων τοῦ δὲ ἐντὸς μείζων. ἐτίθει γοῦν καὶ μέσον τῶν δύο τετραγώνων ἄλλο τετράγωνον καὶ συνῆγεν, ὅτι, ἐπεὶ ὁ κύκλος τοῦ μὲν ἐκτὸς τετραγώνου μείων τοῦ δὲ ἐντὸς μείζων, καὶ τὸ μέσον τετράγωνον ὁμοίως ἔχει πρὸς τὰ τοιαῦτα τετράγωνα, ἄρα τὸ μέσον τετράγωνον καὶ ὁ κύκλος ἴσα εἰσίν.



Fig. 18.

ἔστι δὲ ὁ λόγος πιθανὸς καὶ διαλεκτικὴ ἡ ἀρχή· οὐδὲ γὰρ ἐξ ἀνάγκης

4 ιϛ] ι'ϛ. 7 ὁ θ] θς (θ ἀριθμός?). 13 εὐκολώτερον] εὐκὸ^{τερ}. ἤγουν] ἠ^{γ}. 17 γεωμετρικὴν] -κ- corr. ex αν. 20 καὶ ἐπί] καί dubium. 25 Βρύσων] Βρ- in ras. 35 ἄρα] ἀρ$^{α'}$.

ἔστιν, ὅτι, εἰ δύο τινὰ εὕρηνται τοῦ μὲν ἑνὸς μείζονα τοῦ δὲ ἄλλου μείονα, τηνικαῦτα τὰ δύο ταῦτα ἴσα ἐστίν· τὰ ζ γὰρ καὶ τὰ η τῶν μὲν ἓξ πλείονά εἰσι τῶν δὲ ιε ἐλάττονα, ἀλλ' οὐ παρὰ τοῦτο τὰ ζ καὶ τὰ η ἴσα εἰσίν.

Aristoteles Soph. elench. 172 a 7. — Themistius in Phys. p. 4, 2 sqq. ed. Schenkl.

ἀλλ' οὕτω μὲν ὁ Βρύσων· ὁ δὲ Ἀντιφῶν πόρρω τῶν γεωμετρικῶν ἀρχῶν γεγονὼς ᾠήθη ποτὲ γενέσθαι τὸ εὐθύγραμμον ἴσον τῷ περιφερογράμμῳ καὶ δυνατὸν εἶναι ἐφαρμόζεσθαι θάτερον θατέρῳ, ὅπερ ἐστὶν ἀδύνατον καὶ παρὰ πᾶσαν γεωμετρικὴν μέθοδον. ἐποίει γὰρ κύκλον καὶ ἐν αὐτῷ ἐνέγραφε τρίγωνον, εἶτα πεντάγωνον καὶ ἑξάγωνον καὶ πεντεκαιδεκάγωνον, καὶ ἕως οὗ ἐνεχώρει διαστέλλεσθαι τὴν εὐθεῖαν γραμμὴν τῆς περιφεροῦς γραμμῆς τοῦ κύκλου, πεντηκοντάγωνον καὶ ἑκατοντάγωνον καὶ μάλα ἐπὶ πλέον, ἕως οὗ δόξει ἐφαρμόζεσθαι τὴν εὐθεῖαν τῇ περιφερεῖ· ὃ ἀδύνατόν ἐστιν· εἰ γὰρ καὶ ἡ αἴσθησις πλανᾶται, ἡ ἐπιστήμη οὐ δίδωσι τοῦτο. ἀλλὰ ἐκεῖνος τῇ αἰσθήσει πιστεύων ἐδόκει ὁρᾶν ἐφαρμοζομένην εὐθεῖαν περιφερεῖ κἀντεῦθεν λαμβάνων ἀρχήν, ὡς τὸ περιφερὲς ἀπετελέσθη εὐθύγραμμον, ἐπεχείρει τετραγωνίζειν τὸν κύκλον. εἰ γοῦν ἦν τὸ ἡγούμενον, ὅτι γίνεταί ποτε τὸ εὐθὺ ἴσον τῷ περιφερεῖ, καὶ τὸ ἑπόμενον ἂν ἦν· ἀλλὰ σαθροῖς θεμελίοις τὸν λόγον ἐπεχείρει οἰκοδομεῖν.

Fig. 19.

ἀλλὰ ταῦτα μὲν καὶ ὁ Ἀντιφῶν, ὃς καὶ φορτικὸς ἐδόκει λέγων οὐκ ἐξ οἰκείων ἀρχῶν τῇ γεωμετρίᾳ.

Aristoteles Soph. elench. 171 b 15. — Philoponos in Phys. p. 31, 3—7 ed. Vitelli. — Simplicius in Phys. I p. 56, 1 sqq. ed. Diels.

τρίτος ἐπὶ τούτοις Ἱπποκράτης ὁ Χῖος ἐπεχείρει τετραγωνίζειν τὸν κύκλον, ὃς ἁλοὺς ἐν θαλάσσῃ παρὰ τῶν Ἀθηναίων καὶ τῶν ἐνόντων αὐτῷ στερηθεὶς ἦλθεν εἰς Ἀθήνας ἀπαιτῶν τὰ ἀφαιρεθέντα, ὡς δὲ οὐκ ἐπετύγχανεν, ὧν ἐπεζήτει ἀφεὶς πάντα καὶ ἐς διδασκάλων φοιτήσας ἐξέμαθε τὴν γεωμετρίαν καὶ θαρρῶν τῇ ἕξει ἐκ γεωμετρικῶν ἀρχῶν ἐπεχείρει τετραγωνίζειν τὸν κύκλον. πλὴν οὐδὲ οὗτος εἰς τέλος ἐπετύγχανε τοῦ βουλήματος· ἐλάμβανε γὰρ ἀρχὴν γεωμετρικήν, ὅτι ἐν τοῖς ὀρθογωνίοις τριγώνοις τὸ ἀπὸ τῆς ὑποτεινούσης τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν πλευρῶν τετραγώνοις· ὁμοίως τούτοις καὶ τὸ ἀπὸ τῆς ὑποτεινούσης εἶδος οἱονεὶ ἡμικύκλιον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν πλευρῶν ἡμικυκλίοις· ἐτίθει γοῦν γραμμὴν τὴν αβ καὶ ἐπ' αὐτῆς συνίστα ἅμα μὲν ἡμικύκλιον τὸ αβ ἅμα δὲ καὶ ὀρθογώνιον τρίγωνον τὸ αγβ· καὶ τοῦτο γεωμετρικόν, ὅτι ἐν τοῖς ἡμικυκλίοις ὀρθογώνια συνίστανται τρίγωνα, ὥσπερ ἐν τοῖς ἐλάττοσι τῶν ἡμικυκλίων τμήμασιν ἀμβλυγώνια

Fig. 20.

15 ἐφαρμοζομένην] -ην e corr. 29 ὑποτεινούσης] ἀποτεινούσης. Fig. bis, in altera: τοῦ ἱπποκράτους. 33 ἐπ'] potest legi etiam ἀπ'. 36 ὀρθογώνια] ὀρθογόνια.

ἐν δέ γε τοῖς μείζοσι τῶν ἡμικυκλίων ὀξυγώνια τρίγωνα. ἐλάμβανε γοῦν τὸ ἡμικύκλιον εἶδος συνιστάμενον ἀπὸ τῆς ὑποτεινούσης τοῦ ὀρθογωνίου τριγώνου, ἀπὸ δὲ τῶν πλευρῶν τοῦ τριγώνου συνίστα δύο ἕτερα ἡμικύκλια, καὶ ἰδοὺ κατὰ μέθοδον γεωμετρικὴν ὅλον τὸ ἀπὸ τῆς ὑποτεινούσης ἡμικύκλιον τοῖς δυσὶν ἡμικυκλίοις τοῖς ἀπὸ τῶν πλευρῶν ἴσον ἦν. διῄρει δὲ τὸ ὀρθογώνιον τρίγωνον εἰς ἴσα δύο τρίγωνα διὰ τῆς εὐθείας τῆς γδ τὰ αγδ, γδβ. ἦν οὖν τὸ ὅλον ἡμικύκλιον ἴσον τοῖς δυσὶ τμήμασι τούτου, ἤγουν τὸ αγβ τῷ γαδ καὶ τῷ γδβ· ἦν δὲ τοῦτο τὸ ἡμικύκλιον ἴσον καὶ τοῖς ἡμικυκλίοις τοῖς ἀπὸ τῶν πλευρῶν τῷ τε γεα καὶ τῷ γζβ· ὥστε τό γε γκαδ τμῆμα ἴσον εἶναι τῷ γεα ἡμικυκλίῳ, τὸ δὲ γδβλ τμῆμα ἴσον τῷ γζβ ἡμικυκλίῳ. κοινὸν ἀφῃρήσθω τὸ κ τμῆμα ἀπό τε τοῦ γεαδ τμήματος καὶ ἀπὸ τοῦ γεα ἡμικυκλίου, καὶ τὸ λ τμῆμα αὖθις κοινὸν ἀφῃρήσθω ἀπό τε τοῦ γδβζ τμήματος καὶ τοῦ γζβ ἡμικυκλίου· ἐναπελείφθη ἄρα ὁ μὲν γεα μηνίσκος ἴσος τῷ εὐθυγράμμῳ τριγώνῳ τῷ γαδ, ὁ δὲ γζβ μηνίσκος τῷ εὐθυγράμμῳ τριγώνῳ ἴσος τῷ γδβ, καὶ εὕρηται εὐθύγραμμον τρίγωνον ἴσον περιφερογράμμῳ τῷ μηνίσκῳ. εἰ γοῦν εὕρηται ἴσον εὐθύγραμμον περιφερογράμμῳ, καὶ κύκλος εὑρεθήσεται ἴσος τῷ εὐθυγράμμῳ, τούτου δὲ γενομένου ῥᾳδίως ὁ κύκλος τετραγωνισθήσεται· ὡς γὰρ ὁ μηνίσκος πρὸς τὸ εὐθύγραμμον, ὅλος διόλου περιφερόγραμμος, ὧν καὶ ἅπας ὁ κύκλος, πρὸς τὸ εὐθύγραμμον. τοῦτο δὲ οὐκ ἐξ ἀνάγκης· οὐ γάρ, εἰ ἐπὶ μέρους οὕτω, καὶ ἐπὶ παντός· βῶλον γὰρ μέρος γῆς δυνάμεθα φέρειν, οὐ μὴν δὲ καὶ ἅπασαν γῆν, καὶ μέρος ἀέρος ἀναπνέομεν, οὐ μὴν δὲ καὶ πάντα ἀέρα, ὡς Ἀριστοτέλης φησίν.

Topica V 135 a 32 sqq

Anal. post. I 75 b 13.

πῶς οἱ δύο κύβοι εἷς κύβος γενήσεται;

ἔστω κύβος ὁ αβγδεζηθ ιβ γραμμὰς ἴσας ἔχων, ἓξ ἐπίπεδα καὶ η στερεὰς γωνίας, ὃς καὶ ἁρμονία λέγεται, διότι τὰ τρία ταῦτα τὴν ἁρμονικὴν σώζουσιν ἀναλογίαν ιβ$^{\delta}$ η$^{\beta}$ ς· ὃν γὰρ λόγον ἔχει ὁ ιβ πρὸς τὸν ς ὁ μείζων πρὸς τὸν ἐλάττονα, τὸν αὐτὸν λόγον ἔχει καὶ ἡ ὑπεροχὴ τοῦ μείζονος πρὸς τὸν μέσον πρὸς τὴν ὑπεροχὴν τοῦ μέσου πρὸς τὸν ἐλάττονα· ἔστι δὲ ὁ λόγος τοῦ ιβ πρὸς τὸν ἓξ διπλάσιος, ἔτι καὶ ἡ ὑπεροχὴ τοῦ μείζονος πρὸς τὸν μέσον δ, ἡ δ' ὑπεροχὴ τοῦ μέσου πρὸς τὸν ἐλάττονα β, ὁ δ δὲ πρὸς τὸν δύο διπλάσιος, καὶ διὰ τοῦτο λέγεται ὁ κύβος ἁρμονία. ὅτι δὲ οἱ β κύβοι κύβος εἷς, αἰνίττεται τὴν πολυθρύλλητον ἱστορίαν· Ἀθηναίοις γὰρ λοιμώξασιν ἔχρησεν ὁ θεὸς ἀπαλλαγήσεσθαι τοῦ λοιμοῦ, εἰ τὸν βωμὸν αὐτοῦ διπλασιάσουσιν· ἦν δὲ οὗτος κύβος· οἱ δὲ λαβόντες ἕτερον κύβον ἴσον ἐπιτεθείκασι τῷ βωμῷ, τοῦ λοιμοῦ δὲ μὴ παυσαμένου

Nikomachos Arithm. II 29.



Fig. 21.

Pseudo-Psellus De quattuor disciplinis (Venetiis 1532) S. (61) sqq.

7 ἤγουν] ἤγ. γαδ] -δ corr. ex β, supra γα- add. κ (uoluit γκαδ). 8 γδβ] supra -β add. λ (h. e. γδβλ). 11 γεαδ] immo γκαδ. 12 γδβζ] immo γδβλ. 15 τρίγωνον] immo τὸ τρίγωνον. 18 διόλου] διό$^{\lambda}$. 19 οὐ] e corr. 24 αβγδεζηθ] αβγ'δ'εζη'θ'. 26 ι'β$^{\delta}$ η$^{\beta}$ ς'. 29 ιβ'. 30 δ] δ'. 31 β] β'. δ] δ'. 33 ἱστορ.'

ἔχρησεν ὁ θεὸς μὴ πεποιηκέναι αὐτοὺς τὸ προσταχθέν· ὁ μὲν γὰρ προσέταξε διπλασιάσαι τὸν βωμόν, οἱ δὲ κύβον ἐπὶ κύβῳ ἐπέθηκαν· καὶ ἦλθον πρὸς Πλάτωνα λέγοντες· πῶς ἂν τὸν κύβον διπλασιάσομεν; ὁ δὲ Πλάτων ἢ ὁ Σωκράτης κάλλιον πρὸς αὐτούς φησιν· ἔοικεν ἡμῖν ὀνειδίζειν ὁ θεὸς ὡς ἀμελοῦσι γεωμετρίας· τὴν δὲ τοῦ κύβου διπλασίασιν εὑρεθῆναί φησιν, εἰ δύο εὐθείαις δύο μέσαι ἀνάλογον εὑρεθῶσι, καὶ τοῦτο τὸ πρόβλημα τοῖς μαθηταῖς προυβάλετο, καί τινες τῶν μαθητῶν περὶ τῆς τούτων εὑρέσεως γεγράφασιν.

Euklid VI 20 coroll. 2. ὁ μὲν γὰρ γεωμέτρης ἔδειξεν, ὅτι τριῶν εὐθειῶν ἀνάλογον οὐσῶν, ὡς ἔχει ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτω τὸ ἀπὸ τῆς πρώτης ἀναγραφόμενον τετράγωνον πρὸς τὸ ἀπὸ τῆς δευτέρας.



Fig. 22.

ἔστωσαν γοῦν τρεῖς εὐθεῖαι αἱ α, β, γ ὀκτώ, τέσσαρα, δύο μέτρα ἔχουσαι. ὁ γοῦν ὀκτὼ τῶν δύο τετραπλάσιος καὶ τὸ ἀπὸ τῆς πρώτης τετράγωνον· ὀκτάκις γὰρ ὀκτὼ ξδ· πρὸς τὸ ἀπὸ τῆς δευτέρας· τετράκις γὰρ δ ις· τετραπλάσιον.

οὕτω μὲν οὖν ἐν τοῖς ἐπιπέδοις ἔδειξεν ὁ γεωμέτρης· ἀλλ᾽ ὀργανικώτερον ἐκθησόμεθα κατὰ γραφήν, καθά φησι Παρμενίων, Ἀπολλωνίου τοῦ Περγαίου.



Fig. 23.

ἔστωσαν αἱ δοθεῖσαι εὐθεῖαι αἱ αβ, βγ, καὶ ἔστω διπλασία ἡ αβ τῆς βγ, ὧν δεῖ δύο μέσας ἀνάλογον προσευρεῖν.

καὶ συμπληρούσθω τὸ αγ παραλληλόγραμμον ὀρθογώνιον, καὶ ἤχθωσαν διαγώνιοι αἱ αγ, βδ, καὶ ἐκβεβλήσθωσαν αἱ αβ, βγ ἐπὶ τὰ ζ, η, καὶ διὰ τοῦ δ σημείου ἐφηρμόσθω ἡ ζη εὐθεῖα, ὡς ἴσην γενέσθαι τὴν εζ τῇ εη. λέγω οὖν, ὅτι τῶν αβ, βγ εὐθειῶν δύο μέσαι ἀνάλογόν εἰσιν αἱ γη, αζ.

ἤχθω γὰρ ἀπὸ τοῦ ε ἐπὶ τὴν βγ εὐθεῖαν παράλληλος τῇ αβ ἡ εθ. καὶ ἐπεὶ ἰσοσκελές τρίγωνόν ἐστι τὸ βεγ, καὶ πρὸς ὀρθὰς τῇ βγ ἡ εθ, ἴση ἄρα ἡ βθ τῇ θγ.

7 προυβάλετο] corr. ex προυβάλλετο. 9 πρώτη] α΄. 11 α, β, γ] α΄β΄γ΄. 14 δ] δ΄. 17 βγ] β΄γ΄. 18 αβ] αβ΄. βγ] βγ΄. 20 αγ] α΄γ΄. 22 αγ, βδ] α΄γ΄βδ΄. 23 ἐφηρμόσθω] ἐφαρμόσθω. 25 αβ, βγ] αβ΄βγ΄. 27 βγ] β΄γ΄. 28 εθ] ε΄θ΄. 29 βεγ] β΄εγ΄. 30 θγ] θ΄γ΄.

16 Παρμενίων] vgl. Philoponos *in Anal. post.* I S. 24 (ed. Ald.) = *Apollonios* II S. 105 (ed. Heiberg), wo aber der Beweis ein anderer ist. Der hier vorliegende stimmt mit dem Herons (Eutokios *in Archimedem* III S. 70 ff.). Fig. 23, worauf εη unrichtig eine gebrochene Linie ist, deren erste Strecke die Seite δγ halbiert, folgt etwas weiter unten (f. 203r am Schluß) bei αὕτη ἐστὶν ἡ καταγραφή usw. (s. unten S. 45, 28); am Rande steht dabei: ζήτει ἔμπροσθεν τὴν

ἐπεὶ οὖν ἡ βγ τέτμηται δίχα κατὰ τὸ θ, πρόσκειται δὲ αὐτῇ εὐθεῖα ἐπ᾽ εὐθείας ἡ γη, τὸ ἄρα ὑπὸ τῶν βη, ηγ μετὰ τοῦ ἀπὸ τῆς θγ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς θη. [Euklid II 6]. κοινὸν προσκείσθω τὸ ἀπὸ τῆς εθ· τὸ ἄρα ὑπὸ τῶν βηγ μετὰ τῶν ἀπὸ τῶν γθ, θε ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν εθ, θη. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν γθ, θε ἴσον τὸ ἀπὸ τῆς γε, τοῖς δὲ ἀπὸ τῶν εθ, θη ἴσον τὸ ἀπὸ τῆς εη. διὰ τὰ αὐτὰ δὲ καὶ τῷ ὑπὸ τῶν βζ, ζα μετὰ τοῦ ἀπὸ τῆς εα ἴσον τὸ ἀπὸ τῆς εζ. ἴση δὲ καὶ ἡ εζ τῇ εη· καὶ τὸ ὑπὸ τῶν βη, ηγ ἄρα μετὰ τοῦ ἀπὸ τῆς γε ἴσον ἐστὶ τῷ τε ὑπὸ βζ, ζα καὶ τῷ ἀπὸ τῆς αε. ἀλλὰ τὸ ἀπὸ τῆς εγ ἴσον τῷ ἀπὸ τῆς εα· ἴσαι γάρ· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν βη, ηγ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν βζ, ζα. καὶ ἐπεὶ δέδεικται ἐν τῷ ιδ΄ τοῦ ϛ΄, ὅτι τῶν ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, Euklid VI 14. ἔστιν ἄρα, ὡς ἡ βζ πρὸς τὴν βη, οὕτως ἡ γη πρὸς τὴν αζ. ἀλλ᾽ ὡς ἡ βζ πρὸς τὴν βη, οὕτως ἥ τε ζα πρὸς τὴν αδ καὶ ἡ γδ πρὸς τὴν γη· καὶ ὡς ἄρα ἡ γδ πρὸς τὴν γη, οὕτως ἡ γη πρὸς τὴν αζ καὶ ἡ αζ πρὸς τὴν αδ. καί ἐστι τῇ μὲν δγ ἴση ἡ αβ, τῇ δὲ αδ ἴση ἡ βγ· καὶ ὡς ἄρα ἡ αβ πρὸς τὴν γη, οὕτως ἡ ηγ πρὸς τὴν αζ καὶ ἡ αζ πρὸς τὴν βγ. δύο ἄρα δοθεισῶν εὐθεῖων τῶν αβ, βγ εὕρηνται δύο μέσαι ἀνάλογον αἱ γη, ζα.

πῶς δεῖ στερεὸν στερεῷ πολλαπλασιάσαι.

ἔστωσαν δύο εὐθεῖαι αἱ α, β, καὶ ἔστω διπλασίων ἡ α τῆς β, καὶ εἰλήφθωσαν τῶν α, β δύο μέσαι ἀνάλογον αἱ γ, δ, ὥστε εἶναι, ὡς τὴν α πρὸς τὴν γ, οὕτως καὶ τὴν γ πρὸς τὴν δ καὶ τὴν δ πρὸς τὴν β. λέγω, ὅτι διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς γ τὸ ἀπὸ τῆς α.

ἐπεὶ ἡ α πρὸς τὴν β τριπλασίονα λόγον ἔχει ἤπερ ἡ α πρὸς τὴν γ· τὰ γὰρ ὅμοια στερεὰ πρὸς ἄλληλα ἐν τριπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν· [Euklid XI 33]. ἔστιν ἄρα, ὡς ἡ α πρὸς τὴν β, οὕτω τὸ ἀπὸ τῆς α πρὸς τὸ ἀπὸ τῆς γ. διπλασίων δὲ ἡ α τῆς β· διπλάσιον ἄρα καὶ τὸ ἀπὸ τῆς α τοῦ ἀπὸ τῆς γ.

αὕτη ἐστὶν ἡ καταγραφὴ τοῦ θεωρήματος, ἐν ᾗ δείκνυται, ὅτι, ὡς ἡ αβ πρὸς τὴν γη, ἡ γη πρὸς τὴν ζα καὶ αὕτη πρὸς τὴν βγ. καὶ ὡς ἡ αβ

2 τῷ] τό. 3 τῶν] τῆς?*) 4 γθ] εθ. 5 τῶν (pr.)] τῆς? τοῖς] e corr. τῶν (alt.)] τῆς? 6 Post εη desunt: τὸ ἄρα ὑπὸ τῶν βη, ηγ μετὰ τοῦ ἀπὸ τῆς γε ἴσον ἐστὶ τῷ ἀπὸ τῆς εη. τῶν] τῆς? 7 εζ (pr.)] αζ. ηγ] inc. f. 203r. 9 τῷ] corr. ex τό. 10 τῷ (pr.)] τό. ὑπό] ἀπό. τῶν] τῆς? ϛ΄] ϛ. 17 δοθεισῶν] -ῶν e corr. εὕρηνται] εὕρηται. 23 τοῦ ἀπὸ τῆς γ] sc. στερεοῦ ($γ^3$), und so im folgenden. 28 Hier Figur 23.

καταγραφήν, und fol. 203v wird nebst anderen Figuren (s. unten) diese vergrößert wiederholt; nur sind εζ und εη in derselben Weise falsch gezeichnet wie hier εη, und auf βζ und βη sind zwei Rechtecke hinzugefügt; bei αζ steht: ἡ τρίτη, bei αβ: ἡ πρώτη, bei βγ: ἡ τετάρτη, bei γη: ἡ δευτέρα, beim Rechteck auf βζ oben: αὕτη ἡ ζα, bei dem auf βη rechts: αὕτη ἡ γη.

*) Die Kompendien für τῆς und τῶν sind nicht zu unterscheiden.

πρὸς τὴν βγ, οὕτω τὸ ἀπὸ τῆς αβ στερεὸν πρὸς τὸ ἀπὸ τῆς γη. ἀλλ' ἡ αβ πρὸς τὴν βγ διπλασίων· καὶ ὁ ἀπὸ τῆς αβ ἄρα κύβος διπλασίων τοῦ ἀπὸ τῆς γη κύβου. τοῦ γοῦν παρόντος κύβου ἔχοντος πλευρὰν τὴν γη οὕτω διπλασιασθήσεται ὁ τοιοῦτος κύβος, εἴπερ δέξεται πλευρὰν τὴν αβ. ὡς γὰρ ἐν ἐπιπέδοις κατὰ τρεῖς ὅρους γίνεται τὸ τοιοῦτον· οἷον ἔστωσαν γραμμαὶ τρεῖς α, β, γ ἔχουσαι ιβ ς γ, ὡς ὁ ιβ πρὸς τὸν γ· τετραπλάσιος γάρ· οὕτω τὸ ἀπὸ τῆς α ἐπίπεδον τοῦ ἀπὸ τῆς β ἐπιπέδου· δωδεκάκις γὰρ τὰ ιβ ρμδ καὶ ἑξάκις τὰ ς λς· τετραπλάσιον ἄρα· ὡς γοῦν οὕτω ἐν ἐπιπέδοις διὰ τριῶν ὅρων, οὕτω διὰ τῶν δ ἐν στερεοῖς, ὡς ἡ πρώτη γραμμὴ πρὸς τὴν δ', οὕτω τὸ ἀπὸ τῆς πρώτης στερεὸν πρὸς τὸ ἀπὸ τῆς δευτέρας στερεόν. ὡς γοῦν ἐπὶ τοῦ διπλασίου οὕτως, οὕτω χάριν παραδείγματος καὶ ἐπὶ τοῦ ὀκταπλασίου τὸ τοιοῦτον· ἔστωσαν δ γραμμαὶ αἱ α, γ, δ, β ἔχουσαι ἀριθμοὺς ις η δ β, ὡς ἡ α πρὸς τὴν β· ὀκταπλάσιος γάρ· οὕτω τὸ ἀπὸ τῆς α στερεόν, ἤγουν ὁ κύβος, πρὸς τὸ ἀπὸ τῆς γ στερεόν, ἤγουν τὸν κύβον· ἐν γὰρ τῇ αὐτῇ ἀναλογίᾳ αἱ δ εἰσι γραμμαί· κατὰ γὰρ τριπλασίονα λόγον· καὶ γίνεται τὸ ἀπὸ τῆς α στερεὸν ὀκταπλάσιον πρὸς τὸ ἀπὸ τῆς γ· ἡ γὰρ α πρὸς τὴν β ὀκταπλασίων· ἑξακαιδεκάκις γὰρ τὰ ις σνς, καὶ πάλιν ἑξακαιδεκάκις τὰ σνς κύβος ὁ ͵δϙς· οὕτω γὰρ ὁ κύβος ἀναδιπλασιάζεται. καὶ αὖθις ὀκτάκις τὰ η ξδ καὶ ὀκτάκις τὰ ξδ κύβος ὁ φιβ· ἔστι δὲ ὁ ͵δϙς κύβος ὀκταπλάσιος τοῦ φιβ κύβου. ὡς γοῦν ἐπὶ τοῦ ὀκταπλασίου, οὕτω λάμβανε καὶ ἐπὶ τοῦ τετραπλασίου καὶ διπλασίου καὶ ἐπὶ πάντων.



Fig. 24.



Fig. 25.

εἰς τὴν αὐτὴν καταγραφὴν καὶ ταῦτα.

ὡς ἡ ζβ ὅλη πρὸς τὴν βη ὅλην, οὕτω καὶ ἡ ηγ πλευρὰ πρὸς τὴν ζα πλευράν· καὶ γὰρ ἴσα καὶ ὅμοιά εἰσι παραλληλόγραμμα τὸ ὑπὸ τῶν ζβ, βα καὶ τὸ ὑπὸ τῶν βη, ηγ. ἔστω γὰρ ἐν τοῖς ὀκταπλασίοις στερεοῖς διὰ τῶν

2 καί] inc. f. 203ᵛ. 5 τοιοῦτον] hier ɕ, die Figur mit demselben Zeichen unten (dabei: ἐν τοῖς ἐπιπέδοις). 13 τοιοῦτον] τοιοῦτον ∾. δ (pr.)] δ'. ις] ις'. 14 α] α'. β] β⁶ (h. e. δευτέραν). 15 ἤγουν] ἤγ. ἤγουν] ἤγ. 16 δ] δ'. 19 ͵δϙς] ͵δ corr. ex γ. 21 ὀκταπλάσιος] ὀκταπλα. 23 τετραπλασίον] τετραπλ α/. διπλασίου] διπλασ. 25 ηγ] γ. 26 τὸ ὑπό] postea insertum. τῶν] τῆς. 27 τῶν] τῆς. στερεοῖς—πλευρῶν] in mg. postea additum.

Die Figur unten mit dem Zeichen ∾ (vgl. zu Z. 5). Mit ἀνα- Z. 16 schließt f. 203ᵛ medio. Der übrige Teil der Seite enthält die beiden letzten Figuren und die S. 45 erwähnte mit der Beischrift: ἀποδείκνυται διὰ γραμμῆς τμηθείσης δίχα καὶ προσκειμένης ἐπ' εὐθείας ἑτέρας, διὰ τῆς νύμφης, διὰ τῆς ἀντιπεπονθήσεως τῶν ἴσων ὀρθογωνίων καὶ διὰ τῆς διαιρέσεως (corr. ex διαιρετικῆς) τῶν ζβ, βη. Daneben nebenstehende Figur mit Beischrift: ἐν τοῖς στερεοῖς ἐπὶ διπλασίου. 24 καταγραφήν] s. oben S. 45, 28 ff.).



Fig. 26.

διπλασίων πλευρῶν ἡ ζβ μοιρῶν κ· καὶ τετράκις τὴ κ π· ἡ δὲ βη μοιρῶν ι, ἡ δὲ ηγ μοιρῶν η· καὶ ὀκτάκις τὰ ι π. λοιπὸν ἀντιπεπόνθασιν αἱ πλευραὶ τῶν τοιούτων, ὡς ἡ ζβ ἡ μείζων πλευρὰ πρὸς τὴν βη τὴν μείζονα πλευρὰν τοῦ ἑτέρου ὀρθογωνίου καὶ τούτου ἡ ἐλάττων πλευρὰ ἡ γη πρὸς τὴν ἐκείνου ἐλάττονα πλευρὰν τὴν ζα, ὡς τὰ κ πρὸς τὰ ι, τὰ η πρὸς τὰ δ. καὶ διαιροῦντι ἄρα, ὡς ἡ ζβ πρὸς τὴν βη, τὰ κ πρὸς τὰ ι, καὶ ἡ αβ πρὸς τὴν γη τὰ ις πρὸς τὰ η, καὶ ἡ ζα τὰ δ πρὸς τὴν βγ τὰ δύο· καὶ γέγονεν ἡ τῶν δ μεγεθῶν ἀναλογία. ἔστι δὲ ἐν ὀκταπλασίοις στερεοῖς· ὡσαύτως ἄρα καὶ ἐν τοῖς διπλασίοις στερεοῖς.

Topica I 1 101 a 15.

περὶ τῶν ἐν τῇ διαλεκτικῇ κατ' ἀρχὰς ψευδογραφημάτων.

Euklid I 20. Proklos in Elem. p. 322, 4 ff.

φησὶν ὁ γεωμέτρης· παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς μιᾶς μείζους εἰσὶ πάντη μεταλαμβανόμεναι· τὸ δὲ θεώρημα τοῦτο καὶ ὄνον καλοῦσιν, ὅτι δῆλον τοῦτο καὶ τῷ ὄνῳ· εἴ τις θήσει χόρτον ἐν μιᾷ γωνίᾳ τοῦ τριγώνου καὶ στήσει τὸν ὄνον ἐν τῇ ἑτέρᾳ κατ' ἀντικρύ, ἐκεῖνος κατ' εὐθὺ τὴν μίαν γραμμὴν ὡς μικροτέραν κινηθήσεται ἢ τὰς δύο γραμμὰς τοῦ τριγώνου. ὁ γοῦν ψευδογράφος χρᾶται μὲν ταῖς ἀρχαῖς τῆς γεωμετρίας, τέως δὲ ψευδογραφῶν τὸ σχῆμα διὰ τῶν τοιούτων ἀληθινῶν ἀρχῶν τὸ ἐναντίον τῇ γεωμετρίᾳ συνάγει, ὡς ἐνταῦθα διὰ ἀρχῆς γεωμετρικῆς, ὅτι αἱ ἀπὸ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν ἴσαι ἀλλήλαις εἰσίν, ψευδογραφῶν καὶ χρώμενος τῇ αὐτῇ ἀρχῇ δεικνύει ταῖς δυσὶ πλευραῖς τοῦ τριγώνου τὴν μίαν ἴσην ἢ καὶ μείζονα τούτων.

Aristoteles Top. 101 a 15—16.

ἢ ἐν τῷ γράφειν μὴ ὡς δεῖ τὰ ἡμικύκλια ἢ ἐν τῷ γραμμὰς ἄγειν οὐχ ὡς ἂν ἀχθείησαν.

Alexander in Top. p. 24 ed. Wallies.

τὰ μὲν ἡμικύκλια οὐχ ὡς δεῖ γράφει, εἴπερ θήσει ἡμικύκλιον τὸ αδκε καὶ ἕτερον ἡμικύκλιον τὸ εκζβ καὶ γραμμὴν θήσει ὡς διάμετρον αὐτῶν τὴν



Fig. 27.

αεβ, κέντρον δὲ τό τε η καὶ ϑ, καὶ λέγει τὴν ηκ ἴσην τῇ ϑκ, τὴν δὲ ηε ἴσην τῇ εϑ· ἐκ τοῦ κέντρου γάρ· καὶ σύναμα ἄρα ἡ ηεϑ, ἥτις ἐστὶ μία

1 μοιρῶν κ] deinde deest: ἡ δὲ ζα μοιρῶν δ. ι] ι'. 8 δ] δ'. 10 κατ' ἀρχάς] supra scr. 14 στήσει] στήσῃ. 15 μικροτέραν] μικρο^{τε}ρ'. 16 χρᾶται] sic. δέ] om. 26 ηε] corr. ex εη.

9 Mit στερεοῖς schließt f. 204ʳ med., der Rest der Seite leer. 10 ff. f. 204ᵛ. Der Figur 27 links ist beigeschrieben: τοῦτό ἐστι τὸ θεώρημα, ὃ καλεῖται ὄνος. Im Anfang des Kommentars zur *Topik* findet sich folgende Stelle: δεικνύων

ὑποτείνουσα τοῦ τριγώνου, σύναμα ταῖς ἑτέραις δυσὶ πλευραῖς τοῦ τριγώνου ταῖς $\overline{\eta\kappa}$, $\overline{\kappa\vartheta}$ ἴση· ὥστε ἡ μία ταῖς δυσὶν ἴση. ἄγει δὲ γραμμὰς οὐχ ὡς ἂν ἀχθείησαν ἐν τῷ περιγράψαι μὲν ὡς δεῖ τὰ ἡμικύκλια τό τε $\overline{\alpha\varepsilon\gamma}$ καὶ τὸ $\overline{\beta\zeta\delta}$ καὶ κατάγειν μὲν ἐκ τοῦ $\overline{\kappa}$ ἐπὶ τὰ $\overline{\beta}$, $\overline{\gamma}$ τὰς δύο τοῦ τριγώνου πλευράς, τὴν δὲ γραμμὴν τὴν $\overline{\alpha\beta\gamma\delta}$ μὴ ὡς δεῖ γράφειν, ἀλλ' ὡς τὴν $\overline{\alpha\beta\lambda\gamma\delta}$· καὶ ἔσται ἡ $\overline{\alpha\lambda\gamma}$ ἡ περιφερὴς ὡς εὐθεῖα καὶ ἢ ἴση ταῖς δύο $\overline{\beta\kappa}$, $\overline{\gamma\kappa}$ ἢ καὶ μείζων ἡ μία τῶν δύο.

πῶς αἱ παράλληλοι οὐ συμπίπτουσιν.

Aristoteles Anal. pr. II 65 a 4 sqq. οἱ τὰς παραλλήλους γράφοντες διάλληλον δεῖξιν ποιοῦσι· τὸ γὰρ τρίγωνον διὰ τῶν παραλλήλων ἀποδεικνύουσι καὶ τὰς παραλλήλους πάλιν, ὅτι οὐ συμπίπτουσι, διὰ τῶν γωνιῶν τοῦ τριγώνου δεικνύουσιν ἐν τῇ δι' ἀδυνάτου δείξει. εἰ γὰρ συμπεσοῦνται αἱ παράλληλοι, ἕξει τὸ τρίγωνον δύο ὀρθὰς καὶ πλέον τὰς $\overline{\alpha}$, $\overline{\beta}$ καὶ τὴν πρὸς τῷ $\overline{\gamma}$ γωνίαν πρὸς ταύταις. ἀλλὰ μὴν τὸ ἑπόμενον ἀδύνατον· τὸ ἡγούμενον ἄρα ἄτοπον, ὅτι συμπίπτουσί ποτε αἱ παράλληλοι.



Fig. 29.

ὅτι τὸ ἀπὸ τῆς διαμέτρου τετράγωνον μεῖζον τοῦ ἀπὸ τῆς πλευρᾶς.

Aristoteles Anal. pr. II 67 a 21 sqq. μὴ δώσομεν, ὅτι, ὅ πως ἐπίσταταί τις, τοῦτό πως ἀγνοεῖ; ἐπίσταται γὰρ ἴσως κατὰ τὴν καθόλου ἐπιστήμην, ἀγνοεῖ δὲ κατὰ τὴν μερικήν· οἷον ὅτι πᾶσα ἡμίονος ἄτοκος, καὶ ἀγνοεῖ, ὅτι αὕτη ἡ ἡμίονος ibid. 67 a 35. ἄτοκός ἐστιν. εἰ οὖν μὴ δώσομεν τοῦτο, τὸ ἐν τῷ Μένωνι ἀπόρημα συμ- Platon, Menon 85 a sqq. βήσεται· ζητεῖ γὰρ ἐκεῖσε ὁ Σωκράτης τὸν δοῦλον, εἴπερ ἐπίσταται, ὡς τὸ

---

2 ταῖς (pr.)] τῇ. ἴση] corr. ex ἴσαι. οὐχ] om. 6 $\overline{\alpha\lambda\gamma}$] immo $\overline{\beta\lambda\gamma}$. 13 τάς] τήν. 18 μεῖζον] immo διπλάσιον. 20 ἀγνοεῖ;] ἀγνοεῖ. 23 ὅτι] supra scr.

τάχα, ὡς αἱ δύο πλευραὶ τοῦ τριγώνου ἢ ἴσαι τῆς μιᾶς εἰσιν ἢ καὶ ἐλάττονες, τῶν γεωμετρῶν μείζους λεγόντων, ἢ ἐν τῷ γραμμὰς ἄγειν μὴ ὡς δεῖ ἢ ἐν τῷ γράφειν κακῶς τὰ ἡμικύκλια (vgl. Alexandros p. 23, 26 ff.). Dazu am Rande: ÷ ἔστω τάχα



Fig. 28.

γραμμὴ εὐθεῖα ἡ $\overline{\alpha\beta\gamma\delta\varepsilon}$ καὶ τρίγωνον τὸ $\overline{\zeta\beta\delta}$, πλευραὶ δὲ ἡ $\overline{\beta\gamma\delta}$ καὶ ἡ $\overline{\zeta\beta}$ καὶ ἡ $\overline{\zeta\delta}$, und ./. ἡμικύκλιον τὸ $\overline{\gamma\beta\zeta}$ $\overline{\gamma\delta\zeta}$, τρίγωνον τὸ $\overline{\zeta\beta}$ $\overline{\beta\gamma\delta}$ $\overline{\delta\zeta}$, ἴση ἡ $\overline{\zeta\beta}$ τῇ $\overline{\beta\gamma}$ καὶ τῇ $\overline{\gamma\delta}$.

ἀπὸ τῆς διαμέτρου τοῦ τετραγώνου τετράγωνον διπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς πλευρᾶς· τοῦ δὲ ἀποφηναμένου μαιεύει τοῦτον ὁ Σωκράτης καὶ καθ' ἕκαστον ἐρωτᾷ, καὶ συγκατατίθεται ἐκεῖνος, καὶ οὕτως, ὃ οὐκ ἠπίστατο, φαίνεται ἐπιστάμενος διὰ τῆς καθ' ἕκαστον ἀγωγῆς καὶ μεθόδου· ζητεῖ γάρ, εἴπερ ἴσα ἐστὶ τὰ ἐν τῷ τετραγώνῳ δύο τρίγωνα τὰ ἀπὸ τῆς διαμέτρου γινόμενα ἴσα, καὶ ὁμολογεῖ ἐκεῖνος· ὥστε τὰ δύο τρίγωνα τοῦ ἑνὸς τριγώνου διπλάσια. καταγράφει δὲ καὶ τὸ ἀπὸ τῆς διαμέτρου τετράγωνον, καὶ εὑρίσκεται τὸ ἓν τρίγωνον, οὗ διπλάσια ἦσαν τὰ δύο τρίγωνα, τέταρτον τοῦ γεγονότος ἐκ τῆς διαμέτρου τριγώνου· ὥστε τὰ $\overline{\delta}$ τρίγωνα τοῦ ἀπὸ τῆς διαμέτρου τετραγώνου τῶν δύο τριγώνων τοῦ ἀπὸ τῆς πλευρᾶς τετραγώνου διπλάσια, ταὐτὸν δ' εἰπεῖν καὶ τὸ ἀπὸ τῆς διαμέτρου τετράγωνον τοῦ ἀπὸ τῆς πλευρᾶς τετραγώνου διπλάσιον. ὥστε, ὅ πως ἠγνόει, ἄλλως πως ἐπίσταται, καὶ οὕτω λύει τὸ σόφισμα καὶ οὐ, καθὼς ἄλλοι λύουσιν ἐρωτηθέντες περὶ τῆς δυάδος, εἴπερ ἐπίστανται, καὶ καταφήσαντες, ἀρνούμενοι δὲ περὶ τῆς ἐν τῇ χειρὶ μὴ φαινομένης δυάδος· λέγουσι γάρ, ὅτι, ἣν ἐπιστάμεθα δυάδα, ταύτην ὡμολογήσαμεν εἰδέναι· εἰ γοῦν ἦν, φησίν, αὕτη ἱκανὴ λύσις, ἥρμοζεν ἂν ἐπὶ πᾶσι τοῖς τοιούτοις σοφίσμασιν, ἄλλως τε οὐδὲ λέγει τις ἀπολογούμενος, ὅτι, ὃ οἶδα, τοῦτο ἀπολογοῦμαι.



Fig. 30.

Anal. post. I 71 a 30 sqq.

---

9 τά] corr. ex δ'. $\overline{\delta}$] δ'. 10 τετραγώνου] des. f. 205r. In mg. inf.: τὸ ἀπὸ τῆς πλευρᾶς τετράγωνον $\overline{\alpha\beta\gamma\delta}$, τὸ ἀπὸ τῆς διαμέτρου $\overline{\alpha\delta\varepsilon\zeta}$. In figura: τοῦτο τὸ τοῦ Μένωνος. 11 τετραγώνου] τριγώνου. 17 ἦν] ἥν.

Kopenhagen, März 1902.